σθήσομαι δὲ τῶν ὄντων ἐμφανεστάτων καὶ πᾶσι διὰ στόματος.
πρῶτα δή σοι τὰ περὶ Κλέοβιν καὶ Βίτωνα τοὺς Ἀργείους
νεανίσκους διηγήσομαι. φασὶ γὰρ τῆς μητρὸς αὐτῶν ἱερείας
F οὔσης τῆς Ἥρας ἐπειδὴ τῆς εἰς τὸν νεὼν ἀναβάσεως ἧκεν ὁ
καιρός, τῶν ἑλκόντων τὴν ἀπήνην ὀρέων ὑστερησάντων καὶ
τῆς ὥρας ἐπειγούσης, τούτους ὑποδύντας ὑπὸ τὴν ἀπήνην
ἀγαγεῖν εἰς τὸ ἱερὸν τὴν μητέρα, τὴν δ' ὑπερησθεῖσαν τῇ τῶν
υἱῶν εὐσεβείᾳ κατεύξασθαι τὸ κράτιστον αὐτοῖς παρὰ τῆς θεοῦ
δοθῆναι τῶν ἐν ἀνθρώποις, τοὺς δὲ κατακοιμηθέντας μηκέτ'
ἀναστῆναι, τῆς θεοῦ τὸν θάνατον αὐτοῖς τῆς εὐσεβείας ἀμοι-
109 βὴν δωρησαμένης. | καὶ περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου
φησὶ Πίνδαρος (fr. 2. 3) τὸν νεὼν τὸν ἐν Δελφοῖς οἰκοδομή-
σαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς
ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ'
εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσ-
ταχθὲν τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι. λέγε-
ται δὲ καὶ αὐτῷ τῷ Πινδάρῳ ἐπισκήψαντι τοῖς παρὰ τῶν
Βοιωτῶν πεμφθεῖσιν εἰς θεοῦ πυθέσθαι 'τί ἄριστόν ἐστιν ἀν-
θρώποις' ἀποκρίνασθαι τὴν πρόμαντιν ὅτι οὐδ' αὐτὸς ἀγνοεῖ,
εἴ γε τὰ γραφέντα περὶ Τροφωνίου καὶ Ἀγαμήδους ἐκείνου
B ἐστίν· εἰ δὲ καὶ πειραθῆναι βούλεται, μετ' οὐ πολὺ ἔσεσθαι
αὐτῷ πρόδηλον. καὶ οὕτω πυθόμενον τὸν Πίνδαρον συλλογί-
ζεσθαι τὰ πρὸς τὸν θάνατον, διελθόντος δ' ὀλίγου χρόνου
τελευτῆσαι. τὰ δὲ περὶ τὸν Ἰταλὸν Εὐθύνοον τοιαῦτά φασι
□ □ γενέσθαι. εἶναι μὲν γὰρ αὐτὸν Ἠλυσίου πατρὸς [καὶ] Τερι-
ναίου, τῶν ἐκεῖ πρώτου καὶ ἀρετῇ καὶ πλούτῳ καὶ δόξῃ, τε-
λευτῆσαι δ' ἐξαπίνης αἰτίᾳ τινὶ ἀδήλῳ. τὸν οὖν Ἠλύσιον
εἰσελθεῖν ὅπερ ἴσως κἂν ἄλλον εἰσῆλθε, μήποτ' εἴη φαρμάκοις
ἀπολωλώς· τοῦτον γὰρ εἶναι μόνον αὐτῷ ἐπ' οὐσίᾳ πολλῇ καὶ
C χρήμασιν. ἀποροῦντα δ' ὅτῳ τρόπῳ βάσανον λάβοι τούτων,
ἀφικέσθαι ἐπί τι ψυχομαντεῖον, προθυσάμενον δ' ὡς νόμος